quæ nullum habet finem per se, nisi res, quæ dicitur, terminetur. est autem iniucunda propter infinitatem: finem enim omnes volunt intueri. Quamobrem in flexionibus anhelant, & deficiunt. prospicientes enim terminum, non laborant prius. Ac fusa quidem elocutio est hæc. Versa verò, quæ in periodis cernitur. Voco periodum elocutionem habentẽ principium, & finem ipsam per se, & magnitudinem conspectu facilem. Iucunda autem huiusmodi est, & quæ facilè percipi potest. Iucunda quidem, quia contrario modo se habet, ac interminatum: & quia semper aliquid se habere putat auditor: & quòd semper terminatum sit aliquid se habere putat auditor: & quòd semper terminatum sit aliquid ipsi. Illud autem, nihil prænoscere esse, neque aperire, iniucundum est. Facilis verò ad percipiendum, quia facilè memoria retineri potest. Idque quia numerum habet in periodis elocutio, qui omnium est aptissimus ad memoriam. Quamobrem & metra omnes recordantur magis, quàm soluta. numerum enim habent, quo mensurantur. Oportet verò periodum etiam sententia terminari, & non abrumpi, vt Sophoclis iambica: Calydon quidem hæc terra Pelopei soli. contrarium enim licet existimare, quàm si diuidatur, vt & in eo, quod dictum est, Calydona esse Peloponnesi. Periodus autem vna quidem in colis est: altera verò simplex. Est in colis quidem dictio perfecta, & distincta, & quæ facilè spiritu comprehenditur, non in distinctione, vt & quæ dicta est periodus, sed tota. Colum verò est, altera pars eius. Ac simplicem voco vnimembrem. Oportet autem & cola & periodos neque mutilas esse, neque longas. Pusillum enim hærere sæpe facit auditorem. Necesse enim est, quando adhuc tendens ad id, quod vltra est, & admodum, quem habet in se termini, retrahitur, cessante oratore, quodammodo offensionem fieri propter repulsionem. Longa verò, vt deficiat, efficiunt, quemadmodum vltra terminum se conuertentes. derelinquunt enim & isti simul deambulantes. Similiter verò & periodi, quæ longæ sunt, oratio fit, & anabolæ simile. Quare fit, quod iocatus est Democritus Chius in Menalippidem, qui fecerat pro antistrophis anabolam. Nempe sibi mala fabricat vir, alij mala fabricans. Longa verò anabola, ei qui fecit pessima. Conuenit enim tale etiam dicere in

A ἣ οὐδὲν ἔχει τέλος καθ᾽ αὑτὴν, ἂν μὴ τὸ πρᾶγμα λεγόμενον τελειωθῇ. ἔστι δὲ ἀηδὴς, διὰ τὸ ἄπειρον· τὸ γὰρ τέλος πάντες βούλονται καθορᾶν. διόπερ ἐπὶ τοῖς καμπτῆρσιν ἐκπνέουσι καὶ ἐκλύονται· προορῶντες γὰρ τὸ πέρας, οὐ κάμνουσι πρότερον. ἡ μὲν οὖν εἰρομένη τῆς λέξεως, ἐστὶν ἥδε. κατεστραμμένη δὲ, ἡ ἐν περιόδοις· λέγω δὲ περίοδον, λέξιν ἔχουσαν ἀρχὴν, καὶ τελευτὴν αὐτὴν καθ᾽ αὑτὴν, καὶ μέγεθος εὐσύνοπτον· ἡδεῖα δ᾽ ἡ τοι-
B αύτη, καὶ εὐμαθὴς ἡδεῖα μὲν, διὰ τὸ ἐναντίως ἔχειν τῷ ἀπεράντῳ· καὶ ὅτι ἀεί τι ἔχειν οἴεται ὁ ἀκροατὴς, τῷ ἀεὶ πεπεράνθαι τι αὐτῷ· τὸ δὲ μηδὲν προνοεῖν εἶναι, μηδὲ ἀνύειν, ἀηδές. εὐμαθὴς δὲ, ὅτι εὐμνημόνευτος. τοῦτο δὲ, ὅτι ἀριθμὸν ἔχει ἡ ἐν περιόδοις λέξις, ὃ πάντων εὐμνημονευτότατον. διὸ καὶ τὰ μέτρα πάντες
C μνημονεύουσι μᾶλλον τῶν χύδην· ἀριθμὸν γὰρ ἔχει ᾧ μετρεῖται. δεῖ δὲ τὴν περίοδον καὶ τῇ διανοίᾳ τετελειῶσθαι, καὶ μὴ διακόπτεσθαι, ὥσπερ τὰ Σοφοκλέους ἰαμβεῖα·

Καλυδὼν μὲν ἥδε, γαῖα Πελοπείας χθονός. τοὐναντίον γὰρ ἔστιν ὑπολαβεῖν τῷ διαιρεῖσθαι, ὥσπερ καὶ ἐπὶ τοῦ εἰρημένου τὴν Καλυδῶνα εἶναι τῆς Πελοποννήσου. περίοδος δὲ, ἡ μὲν, ἐν κώλοις. ἡ δὲ, ἀφελής. ἔστι δὲ, ἐν κώλοις
D μὲν, λέξις ἥ τετελειωμένη τε καὶ διῃρημένη, καὶ εὐανάπνευστος, μὴ ἐν τῇ διαιρέσει, ὥσπερ ἡ εἰρημένη περίοδος, ἀλλ᾽ ὅλη. κῶλον δ᾽ ἐστὶ, τὸ ἕτερον μόριον ταύτης. ἀφελῆ δὲ λέγω τὴν μονόκωλον. δεῖ δὲ καὶ τὰ κῶλα, καὶ τὰς περιόδους, μήτε μειούρους εἶναι, μήτε μακράς. τὸ μὲν γὰρ μικρὸν προσπταίειν πολλάκις ποιεῖ τὸν ἀκροατήν. ἀνάγκη γὰρ ὅταν ἔτι ὁρμῶν ἐπὶ
E τὸ πόρρω, καὶ τὸ μέτρον, οὗ ἔχει ἐν ἑαυτῷ ὅρου, ἀντισπασθῇ παυσαμένου, οἷον προσπταίειν γίγνεσθαι διὰ τὴν ἀντίκρουσιν. τὰ δὲ μακρὰ ἀπολείπεσθαι ποιεῖ, ὥσπερ οἱ ἐξωτέρω ἀποκάμπτοντες τοῦ τέρματος· ἀπολείπουσι γὰρ καὶ οὗτοι τοὺς συμπεριπατοῦντας. ὁμοίως δὲ καὶ αἱ περίοδοι αἱ μακραὶ οὖσαι. λόγος γίνεται, καὶ ἀναβολῇ ὅμοιον. ὥστε γίνεται,
F ὃ ἔσκωψε Δημόκριτος ὁ Χῖος εἰς Μελανιππίδην ποιήσαντα ἀντὶ τῶν ἀντιστρόφων ἀναβολάς.

Οἷ τ᾽ αὐτῷ κακὰ τεύχει ἀνὴρ, ἄλλῳ κακὰ τεύχων.

ἡ δὲ μακρὰ ἀναβολὴ, τῷ ποιήσαντι κακίστη. ἁρμόττει γὰρ τὸ τοιοῦτον καὶ εἰς τοὺς μακροκώλους λέγειν.